## 03 OCTOMBRIE
## GHEORGHIOS APOSTOLAKIS

# PARACLISUL SF.IERARH-MUCENIC DIONISIE AREOPAGITUL, EPISCOPUL ATENEI



## PARACLISIERUL PE OCTOMBRIE-GR


Ο ΑΓ
ΔΙΟΝΥ
ΣΙΟΣ
Ο ΑΡΕΟ
ΠΑΓΙΤΗΣ

# Παρακλητικός Κανών Ἁγίου ΔΙΟΝΥΣΙΟΥ τοῦ Ἀρεοπαγίτου

## Ποίημα Γεώργιος Ἀποστολάκης

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄(142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τόν Ἱεράρχην Ἀθηνῶν καί προστάτην, Δικαιοσύνης Διονύσιον θεῖον, συμφώνως εὐφημήσωμεν πιστοί δικαστῶν, κράζοντες· βοήθησον, ἐκτελεῖν ἡμῶν ἔργον, δι᾽ εὐχῶν σου Ἅγιε, ὁ Ἀρείῳ τῷ Πάγῳ, διακονήσας δίκαιον καλῶς, καί νουνεχῶς, ὦ ἰσάγγελε ἄνθρωπε!

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τάς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μή γάρ Σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀπο-στῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών.

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Παράσχου βοήθειαν δικασταῖς, θεόληπτε Πάτερ, ἐν τῷ ἔργῳ τῷ ἱερῷ, καί φώτισον πάντων διανοίας, ἵνα δικαίαν τήν κρίσιν ἐκφέρωσιν.

Ὑπόδειξον λύσεις εἰρηνικάς, τοῖς ἐν δίκαις οὖσι, Διονύσιε θαυμαστέ, καί εὔρυνον νόας δικαζόντων, ὥστε ἀεί ἀληθείας ἐφίεσθαι.

Λειτούργημα ἔχουσιν ἱερόν, τῆς Δικαιοσύνης, ἐπικούρησον νοητῶς, καί δίδαξον λύσεις ζητημάτων, τῶν προκυπτόντων ἐν δίκαις ἑκάστοτε.

Θεοτοκίον.

Νεφέλῃ προσῆλθέν Σοι ὁ σεπτός, ἡμῶν ὁ προστάτης, Διονύσιος Μαριάμ, καί κατηξιώθη Σε κηδεῦσαι, σύν Ἀποστόλοις ὑμνῶν τό Σόν σκήνωμα.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ἐν Ἀρείου τοῦ Πάγου, τῷ φοβερῷ βήματι, ἔκρινας δικαίαν τήν κρίσιν, ἀπροσωπόληπτον· διό βοῶμεν Σοφέ, διά συντόνων εὐχῶν σου, ἐπιγνῶναι πρόσωπον[1], πάντας ἀπότρεψον.

Ἀθηνῶν πολιοῦχος, καί πρεσβευτής ἕτοιμος, καί τῶν δικαστῶν ὁ προστάτης, γέγοντας πάμφωτε· ὅθεν βοήθει ἡμῖν, εὐθυκρισίᾳ δικάζειν, ἰσχυρόν καί πένητα, δίχα προκρίματος.

Ὁ ἑσμός δικαζόντων, σέ προσφωνεῖ Πρόεδρον, καί τήν ἀρωγήν σου αἰτεῖται, ὦ Διονύσιε, ὅπως σοφίᾳ Θεοῦ, δικαιοσύνην διδοῖεν, οἰκτιρμούς[2] ποιούμενοι, πάσῃ ἁπλότητι.

Θεοτοκίον.

Θεοτόκε Παρθένε, πρός Σέ ταχύ ἔδραμε, ποθῶν προσκυνῆσαι Σούς πόδας, ὁ Διονύσιος, σωματικῶς δέ ἐλθών, ἐν τῇ Ἁγίᾳ τῇ πόλει, κάλλος Σόν τό ἄρρητον, φρίττων ἐθαύμασεν.

Προφύλαξον, ἀπό σφαλμάτων τά τέκνα σου Θεοφόρε, ὅτι πάντες οἱ δικασταί πρός σέ καταφεύγουσι, ζητοῦντες τήν χάριν καί φωτισμόν σου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Τό βῆμα Ἀρείου τοῦ Πάγου ὡς κατέλιπες, εἰς βῆμα Ναοῦ προσῆλθες Ἱερώτατε, κριτῶν δέ τήν τήβεννον, ἱεροῖς ἀμφίοις ἀντήλλαξας, καί λειτουργός τοῦ Ὑψίστου γεγονώς, λαόν Ἀθηναίων καθωδήγησας.

Ὠδή δ'. Εἰσακήκοα Κύριε.

Διονύσιε ἄριστε, δῶρα μή λαμβάνειν ἡμᾶς νουθέτησον· πῦρ γάρ καύσει τά οἰκήματα, τῶν δωροδεκτῶν κράζει ὁ Δίκαιος.[3]

Ὅς ἄν δῶρα δεχόμενος, τήν ψυχήν ἀθώου πατάσσῃ Ἅγιε, ἐσαεί ἐπικατάρατος, ἔσται ὡς σαφῶς ἐν Νόμῳ[4] γέγραπται.

Αὐγασθείς Θείᾳ Χάριτι, τάς τῶν δικαζόντων ψυχάς καταύγασον, τῶν ὑμνούντων σε ἐν ᾄσμασι, καί ἐξαιτουμένων σήν ἀντίληψιν.

Θεοτοκίον.

Δικαστῶν διακόνημα, Δέσποινα εὐλόγησον πρός εὐόδωσιν· παῤῥησίαν γάρ Σύ κέκτησαι, Θεοῦ θρόνος οὖσα ἐπουράνιος.

Ὠδή ε'. Φώτισον ἡμᾶς.

Δώρησον ἡμῖν, καί τοῖς οἴκοις τῶν τιμώντων σε, τήν ὑγείαν καί παθῶν ἀπαλλαγήν, Διονύσιε τοῦ Παύλου τό ἁλίευμα.

Ἔχει δικαστῶν, ἡ ὁμήγυρίς σε φύλακα, περιτείχισμά τε οἴκων ἀσφαλές· ὅθεν φρούρησον καί δίωξον τόν κίνδυνον.

Ἴασαι ταχύ, ἀσθενοῦντα καί τρυχόμενον, δικαστήν καί δικηγόρον Ἱερέ, ὡς καί πάντα συνεργοῦντα εἰς τό δίκαιον.

Θεοτοκίον.

Ἔμπνευσον ἡμῶν, ταῖς ψυχαῖς πνεῦμα φιλάδελφον, προσηνεῖς ὁ εἷς τῷ ἄλλῳ ἐν Χριστῷ, ἵνα ὦμεν ἀληθῶς Θεογεννήτρια.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Ἀξίωσον, δικαστάς μακάριε, Ὀρθοδόξων Ἐκκλησίαν στηρίζειν, ὅτι Τριάδι Ἁγίᾳ τό Γένος, ἐν τοῖς αἰῶσι ἀλώβητον ἵσταται· διό τό Σύνταγμα ἡμῶν, ἐν ὀνόματι Ταύτης ἐψήφισται.

Εὐλάβειαν, εἰς πατρῷα δόγματα, Ἱερᾶς τε Παραδόσεως ὅρους, καί προσευχῆς τόν θεάρεστον πόθον, ἡμῖν ἐμφύτευσον Πάτερ δεόμεθα, στεῤῥάν δέ πίστιν εἰς Χριστόν, μαρτυρίῳ σου πάντας ἐκδίδαξον.

Αἱρέσεων τούς πλοκάμους μάκρυνον, ἀφ’ ἡμῶν ἐξαιτουμένων σήν χάριν, καί ἐπηρείας κακοῦ καί μαγείας, πάντα προφύλαξον τάχος τά τέκνα σου, ὡς παῤῥησίαν πρός Θεόν, κεκτημένος διά τῆς ἀθλήσεως.

Θεοτοκίον.

Ἐσκότισται οὐρανός καί ἥλιος, καί ἐρρίγησεν ἡ γῆ τῇ Σταυρώσει, τοῦ Σοῦ Υἱοῦ καί Θεοῦ μου Παρθένε· καί ἐν Αἰγύπτῳ φωνεῖ Διονύσιος, "Θεός νῦν πάσχει ἤ τό πᾶν, ἀδελφοί μου ἀπόλλυται σήμερον".

Προφύλαξον, ἀπό σφαλμάτων τά τέκνα σου Θεοφόρε, ὅτι πάντες οἱ δικασταί πρός σέ καταφεύγουσι, ζητοῦντες τήν χάριν καί φωτισμόν σου.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Ὡς προστάτην τῆς Δικαιοσύνης σοφώτατον, καί καλλώπισμα τῶν δικαστῶν πολυτίμητον, σέ κεκτήμεθα Διονύσιον τόν θαυμαστόν· διό πρόφθασον ὡς ἀρωγός, εἰς τήν ἐνίσχυσιν ἡμῶν, τῶν δεόντως καλούντων σε. Φώτισον τά σά τέκνα, ἐξάγειν δικαίας κρίσεις, καί εἰρηνεύειν λογισμόν ἀντιδίκων, Διονύσιε.

Προκείμενον. *Οἱ Ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. θ' 1-6).

Συγκαλεσάμενος δὲ ὁ Ἰησούς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους θεραπεύειν· καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ εἶπε πρὸς αὐτούς· μηδὲν αἴρετε εἰς τὴν ὁδόν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν. Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε καὶ ἐκεῖθεν ἐξέρχεσθε. Καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον ἐπ᾽ αὐτούς. Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου…

Καί νῦν. Ταῖς τῆς Θεοτόκου…

Προσόμοιον. Ἦχος πλ. β' Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός.....*

Γόνος εὐκλεέστατος, καί ἐγκρατής τῆς σοφίας, καί Πνυκός τῷ βήματι, δικαστής πανάξιος, ἦσθα Ἅγιε, πλήν ὡς ἀκήκοας, Παύλου τό κήρυγμα, βαπτισθῆναι πρῶτος ἔσπευσας· ὅθεν καί γέγονας, Ποιμήν Ἐκκλησίας Ἀθήνησι, Παρθένον τε Πανάμωμον, σώματι ἰδεῖν κατηξίωσαι· βίον δέ σφραγίσας, σεπτῶς τῷ μαρτυρίῳ ἐν πυρᾷ, διπλοῦν τό στέφος παρέλαβες, τοῦ Ἱερομάρτυρος.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ταπεινοί τῇ καρδίᾳ, προσηνεῖς τε τοῖς τρόποις, παντί γενώμεθα, δεικνύοντες τῷ κόσμῳ, ἐπιεικείας πνεῦμα, ὁ Προφήτης[5] γάρ κράζει σοι· ἐλέει καί οἰκτιρμῷ, ποιήσωμεν τήν κρίσιν.

Διονύσιε Πάτερ, δικαζόντων χορείᾳ, σαφές κατάστησον· διάκονοι[6] Δεσπότου, εἰσίν ἐν ἐξουσίᾳ, ἀπονέμοντες δίκαιον. Οὐκ ἐξουσία ἐστί, εἰ μή ὑπό Κυρίου.[7]

Διακρίσεως δῶρον, Διονύσιε θεῖε, ἡμῖν χορήγησον, φωτίζων ἐν ἑκάστῃ, ἰδίᾳ περιπτώσει, τήν τομήν τήν προσήκουσαν· οἰκονομεῖν γάρ σοφόν, οὐχί τ' ἀκραίως κρίνειν.

Θεοτοκίον.

Θεονύμφευτε Κόρη, Παναγία Παρθένε, πιστῶν τό καύχημα, εὐλόγησον Σούς δούλους, καί ἔμπλησον σοφίας, ἀρετῆς καί συνέσεως, Διονυσίῳ σεπτῷ, ὅπως ὁμοιωθῶμεν.

Ὠδή η΄. Τόν Βασιλέα.

Ἀοργησίας, τήν ἀρετήν ἡμῖν πᾶσι, Διονύσιε Πάτερ παράσχου, ἥν Ἀρείῳ Πάγῳ, ἐδείκνυες δικάζων.

Μακροθυμίαν, ὑπομονήν τε ἐν πᾶσι, ἐπιδείξωμεν τῇ ἀκροάσει, τῶν προσερχομένων, ἐνώπιον τῆς ἕδρας.

Ἅπαντας ῥῦσαι, τῆς ἐμπαθείας ὦ Πάτερ, Διονύσιε ὡς παραστάτης, τῶν διακονούντων, ἐν τῇ δικαιοσύνῃ.

Θεοτοκίον.

Ἐν ὁμονοίᾳ, καί ἁρμονίᾳ διάγειν, καταξίωσον πάντας Παρθένε, Μῆτερ τοῦ Ὑψίστου, ἡ Κεχαριτωμένη.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Στεῤῥέωσον τήν πίστιν, ἡμῶν ἥν μαρτυρίῳ, ἔδειξας πᾶσι λαμπρέ Διονύσιε, προσενεχθείς τῷ Σωτῆρι ὡς ὁλοκάρπωμα.

Μιμούμενοί σε Πάτερ, τόν ἀναλωθέντα, ἐν τῷ πυρί ἑκουσίως τῷ Πλάστῃ σου, διακονεῖν τῷ πλησίον ἐκδαπανώμεθα.

Σύ ἔφορος ὡρίσθης, προστάτης τε ἁπάσης, τῶν δικαστῶν τῆς χορείας πανάριστε· ὅθεν ἡμῶν τάς οἰκίας καλῶς προφύλαξον.

Θεοτοκίον.

Τῷ λάτρει τοῦ Υἱοῦ Σου, Ἀρεοπαγίτῃ, Διονυσίῳ σεπτῷ Μῆτερ Πάναγνε, τήν προσευχήν ἡμῶν ταύτην καί Σύ εὐλόγησον.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Δεῦτε ἡ ὁμήγυρις δικαστῶν, καί τῶν δικηγόρων, νομικῶν τε συνδυασμός, τοῦ Διονυσίου, τιμήσωμεν τήν μνήμην, ὡς ὄντος τοῦ Προέδρου, ἡμῶν συνάξεως.

Χαίροις Διονύσιε θαυμαστέ, Ἀρεοπαγίτα, δικαζόντων ὁ θησαυρός· χαίροις διανοίᾳ, ὁ πλατυνθείς καί γράψας, συγγράματα σπουδαῖα, θείαις ἐμπνεύσεσι.

Ζῆλόν σοι ὑπήναψεν θεϊκόν, κήρυγμα τοῦ Παύλου, ἔρωτά τε πρός τόν Χριστόν· ὅθεν μαρτυρίου, τήν φλόγα προσεδέχθης, ὡς δρόσον τῆς πρωΐας, χάριν τοῦ Κτίσαντος.

Ἕτερον, ποίημα Ἀπ. Βαλληνδρᾶ.

Πρῶτος Ἀθηναίων Ἀρχιερεύς, πρῶτός τε καί Μάρτυς, γεγονέναι ἀξιωθείς, ὑπέρ ἡμῶν ἁπάντων, ποιοῦ σήν ἱκεσίαν, Θεῷ θερμαῖς λιταῖς σου, ὦ Διονύσιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι οἱ Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν

διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Ἁγίου καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου. Ποίημα Ἀπ. Βαλληνδρᾶ.

Δεῦτε Ἀθηναίων οἰκισταί, καί τῶν Δικαστῶν αἱ χορεῖαι, ἀνευφημήσωμεν νῦν, θεῖον Διονύσιον, Ἱερομάρτυρα, ὅτι πρῶτος συνέλαβε, τό κήρυγμα Παύλου, πίστιν τ' ἀπεδέξατο τῆς Ἀναστάσεως. Πρῶτος δέ γεγονώς Ἀρχιθύτης, ἐν τῇ Ἀθηνῶν Πολιτείᾳ, πρῶτος καί μαρτύριον ἐδέξατο.

Ἕτερον. Ὅμοιον. Τοῦ ἰδίου.

Ὅτε διηκόνεις νουνεχῶς, ἐν Ἀρείῳ τῷ Πάγῳ Δικαίῳ, ἐν ταῖς Ἀθήναις σοφέ, Παῦλος ὁ Ἀπόστολος, σαφῶς ἐκήρυξεν, τοῦ Χριστοῦ τήν Ἀνάστασιν, καί τήν παρουσίαν, ἐν ᾗ μέλλει κρίνεσθαι ἡ οἰκουμένη ποτέ. Τότε ἐκολλήθης τῷ Παύλῳ, ὅτι σή καρδία ἐφλέγη, γνώσεσθαι αὐτίκα τήν ἀλήθειαν.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Ἀπολυτίκιον. Ἦχος γ'. Θείας Πίστεως. Ποίημα Ἀπ. Βαλληνδρᾶ.

Χαίρει ἔχουσα, Ἀθηνῶν πόλις, ἀντιλήπτορα, καί πολιοῦχον, τόν πρωτεπίσκοπον αὐτῆς Διονύσιον, Ἀρχιερέων λαμπρόν ἐγκαλλώπισμα, καί τῶν Μαρτύρων σεμνόν

ἐπικόσμημα. Ἀξιάγαστε Χριστόν τόν Θεόν ἱκέτευε, τηρεῖν ἡμᾶς καί πόλιν σου ἀπείραστον.

Δίστιχον.

*Διονύσιε φύλαττε δικαστήν Γεώργιον,*
*ὡς ἐν Κρίσει μή τρέμοιμι Δικαστήν οὐράνιον.*

---

[1] Δευτερ. 1, 17
[2] Ζαχ. 7, 9
[3] ᾿Ιώβ, 15.34.
[4] Δευτερ. 27, 25.
[5] Ζαχαρ. 7,9.
[6] Ρωμ. ιγ, 4.
[7] Ρωμ. ιγ, 1-3.

